τὰ γὰρ ἴδια ὡς φύσει φιλεῖ, τὰ δὲ τοῦ ἀνδρὸς ὡς ξένα θέσει μισεῖ. τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ γῆ τῶν μὲν αὐτομάτως φυομένων ἐστὶ μήτηρ, τῶν δὲ παρὰ σοῦ βαλλομένων μητρυιὰ, καὶ μᾶλλον τὰ ἴδια τρέφει καὶ θάλπει, ἢ τὰ παρὰ σοῦ φυτευθέντα. ὡς νόθα γάρ ἐστιν. ὁ δὲ κηπωρὸς ἀκούσας ταῦτα, λέγει, πίστευσόν μοι, πολύ με τῆς λύπης ἐκούφισας, ἔχε τὰ λάχανα δωρεάν. ἐὰν δέ τινος χρείαν ἔχῃς, ὡς ἴδιον περιέπειν κῆπον. ἐγένετο δὲ μεθ᾽ ἡμέρας τινὰς, λουομένου τοῦ Ξάνθου, φίλους εὑρὼν ἐν τῷ λουτρῷ, καὶ λέγει τῷ Αἰσώπῳ, προλαβὼν εἰς τὸν οἶκον, βάλε φακὸν εἰς κάκαβον, καὶ ἕψησον αὐτὸν ἡμῖν. Δραμὼν οὖν ὁ Αἴσωπος εἰς τὸ ταμεῖον, λαβὼν ἕνα κόκκον φακοῦ, καὶ βαλὼν εἰς κάκαβον, ἕψει. ὁ δὲ Ξάνθος λουσάμενος σὺν τοῖς φίλοις αὐτοῦ, ἔφη αὐτοῖς, καταξιώσατε σήμερον μετ᾽ ἐμοῦ εὐτελῶς ἀριστῆσαι πρὸς φακὸν ἡμῖν ἐστι. οὐ δὴ γὰρ τῇ